Vom unterschiedlichen Wert der menschlichen Meinungen …

Es unterhalten sich Sokrates (Σω.) und Kriton (Κρ.).

Σω. Ἀνὴρ γυμναζόμενος[1] πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν νόον προσέχει, ἢ ἐκείνου μόνου, ὃς ἐπαΐων[2] ἐστιν ὥσπερ ὁ ἰατρὸς ἢ ὁ παιδοτρίβης;

Κρ. Ἐκείνου μόνου.

Σω. Φοβεῖσθαι οὖν χρὴ τοὺς ψόγους καὶ ἀσπάζεσθαι[3] τοὺς ἐπαίνους τοὺς τοῦ ἐπαΐοντος, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν.

Κρ. Δῆλα δή.

Σω. Οὕτως ἄρα δεῖ ἄνδρα γυμναζόμενον πράττειν καὶ γυμνάζειν καὶ ἐστίειν καὶ πίνειν, ὡς τῷ ἐπαΐοντι δοκεῖ, μᾶλλον ἢ ὡς πᾶσι τοῖς ἄλλοις.

Κρ. Ἔστι ταῦτα.

Σω. Ἀπειθήσας[4] οὖν τῷ ἐπαΐοντι καὶ ἀτιμάσας τὴν δόξαν καὶ τοὺς ἐπαίνους αὐτοῦ, τιμήσας δὲ τοὺς τῶν οὐδὲν ἐπαϊόντων, ἄλλο τι ἢ πολλὰ καὶ κακὰ πείσεται[5];

Κρ. Πῶς γὰρ οὔ;

Σω. Οὐχ οὕτως ἔχει, ὦ Κρίτων, καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων καὶ αἰσχρῶν καὶ καλῶν, περὶ ὧν νῦν ἡ βουλὴ[6] ἡμῖν ἐστιν; Πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι ἢ τῇ τοῦ ἐπαΐοντος, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ σύμπαντας τοὺς ἄλλους;

Κρ. Τοῦ ἐπαΐοντος, ὡς ἔγωγε οἶμαι.

Σω. Καλῶς λέγεις, ὦ Κρίτων. Χρὴ ἄρ’ ἡμᾶς μὴ ταῦτα[7] φροντίσαι, ἃ λέγουσιν οἱ πολλοί, ἀλλ’ ἃ δὴ ὁ ἐπαΐων καὶ αὐτὴ ἡ ἀλήθεια περὶ τῶν δικαίων καὶ ἀδίκων.

Κρ. Πάνυ μὲν οὖν.

1 ἀνὴρ γυμναζόμενος] Subjekt von προσέχει (zur Hervorhebung vorangestellt).

2 ἐπαΐων] ἐπαΐων, -οντος: *sachverständig* (Partizip Präsens von ἐπαΐω: *sich auf etwas* (τί) *verstehen*; oft substantiviert: ὁ ἐπαΐων: *der Sachverständiger*).

3 ἀσπάζεσθαι] hier: *sich freuen über* (τι).

4 ἀπειθήσας] ἀπειθέω (ἀ-privativum + πείθω): *unfolgsam sein, nicht gehorchen* (τινί).

5 πείσεται] Futur von πάσχω: *etwas* (τί) *erleiden* (dt. > *etwas widerfährt einem*).

6 ἡ βουλή] hier: *Beratung*, *Beratschlagung*.

7 ταῦτα] Nom.-Akk. Pl. Neut. des Demonstrativpronomens οὗτος, αὕτη, τοῦτο: *dieser*.